## Παραδείγματος χάριν.

Ἐπὶ μὲν τοῦ Δικαίου ἐξοῦμεν. ὡς ἐκ τοῦ Ὁμοίου.

Καθάπερ δίκαιον ἡγούμεθα μὴ βλάπτεσθαι παρὰ τῶν μηδὲν ὑφ' ἡμῶν λυπηθέντων, οὕτω καὶ εὐεργετεῖσθαι παρὰ τῶν εὖ πεπονθότων. ὅπερ καὶ ἐκ τοῦ Ἐναντίου τις ἂν φαίη. ἢ καὶ οὕτως. Ὥσπερ τοὺς λυπήσαντας δίκαιον ἀντιλυπεῖν, οὕτω καὶ τοὺς εὐεργετηκότας ἀντευεργετεῖν. εἶτα καὶ ἐκ τῶν Κεκριμένων τοῦτο καὶ ξύμπαν ὁμοῦ τὸ ἑλληνικὸν ἐπικυρῶσαν φαίνεται. ἐκ Παραδείγματος. Μάλιστα δὲ ἡ πόλις τῶν Ἀθηναίων, οἷς Ξέρξην καὶ τὸν Φαληρέα Δημήτριον εἴργασται, ὧν τὸν μὲν λυπήσαντα, ἀποχρώντως ἠμύνατο· τὸν δὲ εὐεργετηκότα, μεγάλως τετίμηκεν.

Ἐπὶ δὲ τοῦ Νομίμου. ἐκ μὲν τοῦ Ὁμοίου οὕτως. Ὥσπερ γὰρ ὁ νόμος τοὺς προδότας κολάζεται, οὕτω καὶ τοὺς λειποτακτοῦντας· καὶ γὰρ οὗτοι, τό γε καθ' ἑαυτοὺς, τοὺς στρατιώτας προδιδόασι. καὶ ἐκ τοῦ Ἐναντίου. Εἴπερ λαμπρὰ τοῖς ἀριστεύσασιν ἆθλα προτίθεται, πάντως τοῖς διὰ δειλίαν τὴν τάξιν προδιδοῦσι, δεινὰ τὰ ἐπιτήμια. ἐκ τῶν Κεκριμένων. Τοῦτο καὶ Σόλωνος, καὶ Λυκούργου ἐπῄνεσεν. εἶτα ἐκ Παραδείγματος· διὰ τοῦτο καὶ Ὀθριάδης αὐτοχειρίᾳ θνήσκει, μὴ καὶ θανόντας δόξῃ καταλιπὼν τοὺς ἑταίρους.

Ἐπὶ δὲ τοῦ Συμφέροντος, περὶ οὗ πᾶς ὁ λόγος τῷ συμβουλεύοντι. ἐκ μὲν τοῦ Ὁμοίου, ὧδι. Τῶν μὲν βρωμάτων τὰ ὑγιεινὰ, οὐ τὰ ἡδέα λυσιτελεῖ. ὡσαύτως καὶ τῶν φίλων, οἱ ἐπιτιμῶντες, οὐχ' οἱ κολακεύοντες χρήσιμοι. ἐκ δὲ τοῦ Ἐναντίου, οὕτως. Εἰ γὰρ τοὺς ἀληθεύοντας φιλοῦμεν τε καὶ προσιέμεθα, πῶς οὐ μακρὰν ἀφ' ἡμῶν τοὺς ἐξαπατῶντας ἀπο-



ΙΩΑΝΝΙΝΑ 2006

ἀποκρουσόμεθα κόλακας; ἐκ τῶν Κεκριμένων. Οὐ τοῦτο πάντες ἀγορεύουσιν Ἑλλήνων νόμοι, τοὺς ψευδομένους κολάζεσθαι; ἐκ Παραδείγματος. Πειθέτω σε ταῦτα Δηνίας, ᾧ τὸ δόξαν Φορτικὸν τῆς Ἀγαθοκλέους Φιλίας, μακρῷ τῆς τῶν κολάκων αἱμύλης, ἔγνωσαι τῇ πείρᾳ λυσιτελέστερον. Λήψῃ δὲ τὸ Συμφέρον, ἀπὸ τοῦ μέλλοντος, καὶ προσδοκίας, ἢ γνώμης τῶν Φίλων, ἢ τῶν ἐναντίων. εἰ φαίης τοιαῦτα παρὰ τῆς ἐκείνου ἀρετῆς τῶν Φίλων καραδοκούντων. ἢ τῶν ἐχθρῶν ἀπευχομένων. οὕτω δὴ καὶ ἀπὸ τῶν ἄλλων τελικῶν, δεικνύων, ὡς ἐντεῦθεν βεβαίαν ἕξει ὁ προτρεπόμενος, ἢ δόξης ἐλπίδα, ἢ τιμῆς, ἢ χρημάτων, ἢ τέρψεως. Καὶ ἐκ τῶν Ἐναντίων. ὡς εἰ τἀναντία πράξαιτο, ἐκπεσεῖται ἧς κέκληται δόξης, χρημάτων, τέρψεως, καὶ τῶν ὁμοίων. τοῖς τε Φίλοις καὶ τοῖς πρὸς αἵματος ὄνειδος οὐ τὸ τυχὸν προστρίψεται. εἰδέ τινα καὶ ἀντιπίπτειν δοκοῦντα, ἐπαγαγόντες ἀνασκευάσομεν. Πέρας δὲ, ἡ ἀνάμνησις ἔστω τῶν εἰρημένων ἀγαθῶν, ἢ τῶν βλαβερῶν σύνοψις. καὶ μάλιστα παροιμιώδης. Ἢ γοῦν ἐκλιπαρήσωμεν πρὸς ἀρετῆς ἐκείνου, ἢ ἐπαγγέλματος, οἷον, πρὸς σκήπτρων, εἰ ἄρχων τυγχάνει. πρὸς νόμων καὶ θέμιδος, εἴτις τῶν δικαζόντων εἴη. ἢ πρὸς Μουσῶν, πρὸς Ἑρμοῦ καὶ Ἀπόλλωνος, ἢ Σοφίας αὐτῆς, εἴπερ τις εἴη τῶν λόγων ἀντιποιουμένων.

## Ὑπόδειγμα.

Τῶν κοινῶν ἔτι μοι μέλλει, σιγᾶν οὐκ ἔχω. σὲ δ' ὅτι φιλῶ, καὶ πάνυ θαῤῥεῖν ἔχω. καὶ μοι τὴν παῤῥησίαν δέξαι. Ὁ ἱερώτατος πατὴρ Ἀνθέμιος, συχνὸς ἐξότου χρόνος νόσῳ χαλεπῇ προσπαλαίων,

λαίων, ἤδη τῆς ἀμείνονος ἐγένετο λήξεως. ὁ δὲ ἐκείνου θρόνος, εἰ ϗ τοῖς ἄλλοις κοσμεῖται, ὅσα τῷ θρόνῳ καθήκουσι, χηρεύει μέντοι τοῦ ἐφέδρου. οὐχ' ὅτι μὴ πολλοὺς ἔχει τοὺς ἀντιποιουμένους, ἀλλ' ὅτι ζητεῖ τὸν προσήκοντα. καί μοι δοκεῖ τὰ νῦν ἐκεῖνον αὐτόματον ἥκειν τὸν καιρόν, ὃν πολλάκις ἀποδυρόμεναι τὰς τοῦ γένους ἐπηρείας, ἐποθοῦμέν τε ϗ τῇ διανοίᾳ συνεπλαττόμεθα. εἰ σύγε βουληθείης τῆς ἀρχῆς ταύτης μεταποιήσασθαι. Τί δὲ μή, σοί τε ϗ τῇ σῇ ἀγχινοίᾳ πρεπωδεστάτου; πάντα κατὰ λόγον ἔχει. οἱ πολῖται, τῆς σῆς φωνῆς ἐκρεμεῖς ἅπαντες. τὸ λειτούργημα ϗ παρ' ἑαυτοῦ, ϗ τῷ τέλει τῆς ἐνεργείας, ὑψηλόν τε ϗ θεῖον, ϗ τοῖς εὐδοκιμωτάτοις αὐτοῖς περισπούδαστον. τὰ δὲ πράγματα, μονονουχὶ τὼ χεῖρε ὀρέγοντα εἰς τὴν αὐτῶν σε προκαλοῦσιν ἀντίληψιν. οὐδὲν ἀντίξουν οὐδ' ἀνακαλούμενον. ϗ δέος, μὴ ϗ γέλωτα τοῖς πολλοῖς ὀφλισκάνωμεν ἐθελοκακοῦντες· ἔστι γὰρ ὥσπερ προεδρίαν διώκειν τὴν μὴ προσήκουσαν προπετές, οὕτω ϗ τὴν πρέπουσαν αὐτεπάγγελτον παροῦσαν ἀποποιήσασθαι εὔηθες. ϗ τὸ μέν, τῶν ἄγαν τολμηρῶν· τὸ δέ, τῶν λίαν δειλῶν. ϗ ἀμφότερα κατεγνωσμένα. Ἄλλως τε, ϗ εἰ ταύτης μεταποιήσαιο, τοῖς τε πράγμασι σωτηρίαν, σαυτῷ τε πρὸς τῷ ἐντίμῳ, τοὺς τε φίλους εὖ ποιεῖν προσποριεῖ, ϗ παρ' ἐχθρῶν μὴ βλάπτεσθαι. οἱ τίνα κάλων, ἢ λίθον οὐ κινοῦσι μήσε ὢν ἐν πολλῇ τοῦ κωλύσοντος ἐρημίᾳ διασυλοῦσι συλλήπτορα ἴδωσι; παρεωραμένης δέ, τὰ μὲν φροῦδα πάντα. σαυτὸν δέ, ἵνα μὴ τἄλλα λέγω, τοῖς ἐκεῖσε κριτηρίοις, εἴθε δὲ μὴ ϗ κολαστηρίοις καθυποβαλεῖς. ὁμοίως γὰρ ὑπεύθυνον ϗ τὸν οἰακοστροφεῖν εἰδότα, τοῦ σκάφους ἐνδείᾳ τοῦ



ΙΩΑΝΝΙΝΑ 2006

οἰακίσαντος περιτρεπομένου, μὴ ἀντιλαμβάνεσθαι, καὶ τὸ Χριστοῦ ποίμνιον εἰκῇ τε φερόμενον, καὶ γινόμενον ἐν ἐρημίᾳ ποιμένος θηρσὶ παρανάλωμα, δυνάμενον, μὴ περιποιήσασθαι. εἰ γὰρ τῷ βουληθέντι μὲν εὖ ποιῆσαι, κἂν μὴ δυνηθέντι, ὡς πεποιηκότι ἀπόκειται ἡ ἀντιμισθία τῆς προαιρέσεως· τί χρὴ νομίζειν τῷ μηδὲ βουληθέντι, καὶ ταῦτα δυναμένῳ; ἤπου πικρὰ τὰ ἐπιτίμια, καὶ ὅσα τοῖς δι' ἀνεπιστασίαν ἐξολισθαίνουσιν ὀφείλεται. ἔστι γὰρ οὗ τῶν λογίων φησὶν ὁ Θεός. Καθὼς ἀπώσασθέ με τοῦ εἶναι εἰς ἡγουμένους τοῦ λαοῦ μου, καὶ ἄρχοντας, οὕτω κἀγὼ ἀπώσομαι ὑμᾶς, τοῦ εἶναι ὑμῖν εἰς βασιλέα. οὐ γὰρ δὴ ἐκεῖνο φαίης ἄν, ὡς τῷ ζηλοῦντι δῆθεν τοὺς πάλαι μακαρίους ἄνδρας οὐκ ἀνθεκτέον ἀρχῆς. ποῦ γὰρ ὦ μακάριε σύ; πότε τὸ Χριστοῦ Γεώργιον χρῆζον βοηθείας, ἐκεῖνοι παρεῖδον, ἢ ἀπώσαντο, οἷς ὁ πᾶς βίος ὑπὲρ ἐκείνου ἀγὼν εἰς διετέλεσεν; ἀλλ' ἡ τῆς ἀρχῆς ἀποχώρησις. τοῖς κρείττοσιν ἦν παραχώρησις. νυνὶ δ' ὅτι πάντες εἰς σὲ κεχήνασι, καὶ ὡς οὐδεὶς σου τῆς περὶ τὸ ἄρχειν ἐπιστήμης ἐφάμιλλος κἂν αὐτὸς εἴποις, εἰ καὶ λίαν ἐπιεικὴς εἶ, καὶ σπεύδων τοῦ λανθάνειν· Ἀλλὰ βούλει σοι εἴπω παροιμίαν οὐχ ἧττον σύντομον, ἢ ἀληθῆ; ὅρα μὴ τὴν ὑπέραν ἀφεὶς τὸν πόδα διώκῃς· οἷς μὲν σαυτὸν καὶ τοὺς ἄλλους σώσαις ὑπερορῶν, δι' ὧν δὲ καὶ σαυτὸν προσαπωλέσεις ἀπρὶξ ἀντεχόμενος.

## Ἄλλο.

Τῶν ἐπαινουμένων μὲν καὶ ἄλλως ἡ πρὸς ἀρετὴν τῶν νέων παράκλησις, καὶ ταῦτα πρὸς εὖ φρονούντων γινομένη, καὶ παντὸς ὁτουοῦν κέρδους ἐλπίδος ἀπηλλαγμένη. ἐμοὶ δὲ καὶ ἀναγκαῖον ἐν τοῖς μά-

μάλιστα ἡ πρὸς σὲ νουθεσία. οὐχ ἅπως διὰ τὸ ἐπάγγελμα, ἀλλὰ δὴ καὶ τῆς ἐπ' ἐμοὶ τῶν σὲ τεκόντων ἐλπίδος. Ἔγωγε οὖν καὶ τοῖς παρὰ τῆς τύχης εὐροεῖν σε περὶ πολλοῦ ποιοῦμαι, καὶ τῶν ὅσα ἀξιάγαστα τῶν ἐν ἀνθρώποις εὐπορεῖν, ἀλλὰ τοσοῦτον ἀπολαύειν, ὅσον ἀφοσιώσασθαι τῷ μετὰ σώματος βίῳ, καὶ σοὶ μὲν ἐπωφελές, οὐδενὶ δὲ τῶν ἄλλων εἰς ἐνόχλησιν ἧκον. ὅλῃ δὲ ψυχῇ ἀνθεκτέον παιδείας, ἥτις ἡμῖν σοφίαν τε οἶδε πορίζειν καὶ φρόνησιν· δι' ὧν τά τ' ἐκτὸς ἀγαθὰ συντηρεῖται, καὶ τὰ ἤθη κοσμεῖται, καὶ ἡ ψυχὴ τελεωτέρα καθίσταται. οὐ γάρ ἐστιν ἀπόβασις τῶν παρὰ τῆς τύχης ἡ παιδεία, ὥς ἔνιοι κακῶς νοοῦντες ᾠήθησαν· ἀλλ' ἐς αὐτὰ ταῦτα μᾶλλον ἐστὶν ἐπανάβασις. αὕτη γὰρ τῆς τῶν φαύλων ἡμᾶς συνηθείας ἀπαλλάττει· τὰς ἐν ἀγορᾷ μέμφεται διατριβάς. τὰς τριόδους διαβάλλει. τὸν λογισμὸν οὐκ ἀφίησιν εἰς ἀλλοκότους ἐννοίας παρενεχθῆναι. καὶ τὸν ἄνθρωπον τοῦτ' αὐτὸ ἄνθρωπον ἀπεργάζεται, ἵνα μὴ θεὸν εἴπω καὶ ἡγεμόνα τῶν ἄλλων. τοῖς μὲν πολίταις ζηλωτὸν τοῖς δὲ φίλοις ἐράσμιον. τοῖς οἰκείοις χρήσιμον. τοῖς ἀλλοτρίοις ἀπόβλεπτον. ἐν μὲν ταῖς εὐπραγίαις σώφρονα· ἐν δὲ ταῖς δυσπραγίαις θαρσαλέον, καὶ ἀκατάπληκτον. αὕτη μόνη καὶ ζῶντι, καὶ τελευτήσαντι παραμένει τῷ κεκτημένῳ, πάντων τῶν ἐν ἀνθρώποις μεταπιπτόντων τε καὶ διαῤῥεόντων, ὡς καὶ ἡ καθ' ἡμέραν πεῖρα ἐναργῶς ἐκδιδάσκει. καὶ τί δεῖ μηκύνοντα ἐνοχλεῖν; τίνος ἂν ἄλλου ἐν ἐφέσει γένοιτ' ἄνθρωπος, ὃς παρὰ πᾶσι μὲν εἴη περίβλεπτος, τῶν δ' ἀναγκαίων τῷ βίῳ δεόμενος οὐδενός; ὃ δὴ καὶ μόνη παιδεία τοῖς οἰκείοις χαρίζεται λατρευταῖς. ἧς εἰ μὲν συντονώ-

τερον ἔχεσθαι ἀξιώσῃς, νύκτωρ καὶ μεθ' ἡμέραν· ὡς οἷόν τ' ἐπιμελούμενος, οἶδα ὅτι σαυτὸν οὐ μετρίως ὀνήσεις, κἀμὲ ὡς εὐνοοῦντα ἐπαινέσεις· εἰ δ' ἄλλως σοι δόξῃ, (ἐπίπονος καὶ ἱδρώτων ἀνάπλεως ἡ περὶ ἐκείνην φροντὶς) πρὸς καιρὸν μὲν ἴσως τρυφῇ ἐπαρκέσεις, μετ' οὐ πολὺ δὲ τὰ ὅσα ὄψει τῶν προσεχόντων σειρῆσιν ἔνθα πύθεται ὄμβρῳ.

## Ἀπάντησις πρὸς τὸν Συμβουλευτικὸν, ἢ Προτρεπτικὸν χαρακτῆρα.

Ἀπαντήσομεν δὲ πρὸς τὸν συμβουλευτικὸν, ἢ προτρεπτικὸν χαρακτῆρα, χάριτας ὁμολογοῦντες τῷ συμβουλεύοντι τῆς πρὸς ἡμᾶς εὐνοίας. καὶ εἰ μὲν δέδοκται ἅπερ ἐκείνῳ βουλομένῳ ἦν, ταῦτα ἐπαινέσομεν. καὶ τὴν προτροπὴν, ὡς λυσιτελῆ, ἢ δίκαιον, ἢ ἔννομον, καὶ τὰ ἑξῆς, μεγίστης ὑποδοχῆς παρ' ἡμῶν ἠξιῶσθαι ἐροῦμεν. καὶ ὡς ἐς τέλος ἄξομεν τὴν ταχίστην δηλώσομεν· ἢν δὲ μὴ, αἰτίας ἐξοίσομεν τὰς ἀξιολόγους. δι' ἃς οὐχ οἷοί τ' ἐσμὲν ἐκτελέσαι ἃ προτρεπόμεθα. καὶ ταύτας ἀναθεωρῆσαι τὸν φίλον ἐκλιπαρήσομεν, καὶ ἐξαῦθις πρὸς ἡμᾶς ἀπαντῆσαι.

### Ὑπόδειγμα.

Καὶ πάλαι σου τὸ πρὸς ἐμὲ φίλτρον εἰδὼς, νῦν οὐχ ἥκιστα, καὶ τὴν σύνεσιν ἄγαμαι. ἑκάτερα γὰρ ἐς ἄκρον τοῖς πρὸς ἐμὲ σου γράμμασιν ἐμφαίνεις ἐνόντα σοι. ὡς μὲν ἀγχίνους συνεὶς τὰ ἄριστα, ὡς δὲ φίλος συμβουλεύων τὰ κάλλιστα. καί σοι μεγίστη χάρις ἀμφοτέρων ἕνεκα, καὶ ὧν φιλεῖς, καὶ ὧν παραινεῖς κηδόμενος. Τῆς οὖν ἀξίας εἰ καὶ μὴ κατὰ τὴν ἐμὴν ἀγωγὴν καὶ προαίρεσιν, μελήσει μέντοι, ὅτι μὴ καὶ τῆς ἱερᾶς ἐκλογάδος

δολίως

δολίως παρασυρομένης, καὶ διαλυομένης οἰκτρότατα. ἀλλὰ καὶ τῶν ἐπηρεαζόντων τὸ κακεντρεχὲς ὑφορώμενος, καὶ νεμεσῶ τὴν προσποίησιν, ὡς οἶμαι μικρὰ τοῦ λοιποῦ τοῖς ἡμετέροις ἐφησθήσεσθαι ἀτυχήμασιν, εἰ τῆς παρὰ θεοῦ μόνον προνοίας ἔρημοι μὴ ἀπολειφθείημεν.

## Ἄλλο.

Καὶ τῆς νῦν οὐχ ἧττον πρὸς ἐμὲ σοῦ ἐπιμελείας, ἢ τῆς ἄνεκαθεν εὐνοίας, πλείστας ὁμολογῶ σοι τὰς χάριτας. καὶ γὰρ ἐξ ἀρίστης ἅμα γνώμης, καὶ εἰλικρινοῦς διαθέσεως ἡ παραίνεσις. διό με καὶ μᾶλλον πεποίηκε δυσαναχετεῖν, τῷ μὴ δοκεῖν ἔχειν ἔργοις ἐνδεικνῦναι τὸ προτρεπόμενον. ἡ γὰρ τῆς παιδείας κτῆσις, καὶ αὐτῶν ἀπαιτεῖ μοι τῶν ἀναγκαίων ἀφαίρεσιν. Ἐξ ὅτου γὰρ εἰς τοῦτο ἦλθον τῆς ἡλικίας, ὥστε κρίνειν ἔχειν τῶν ἐν τῷ βίῳ, πλείσταις ὡμίλησα ταῖς φροντίσιν, ὡς σοῦ πάντως ἡ ἱερὰ οὐκ ἀγνοεῖ σύνεσις. προϊούσης δέ μοι τῆς ἡλικίας, καὶ αὗται συνεπιδίδονται. καὶ πλείστων ὅσων ἀσχολιῶν μοι παραίτιοι γίγνονται, ὡς εἴγε βουληθείην ποτὲ ἀποσείσασθαι, αὐτίκα πατρῷα πάντα φροῦδα, καὶ ἴδια. ἐγὼ δὲ μήτ᾽ ἀντιπαλαίειν τοῖς ἀπὸ τῆς πενίας δεινοῖς οἷός τ᾽ ὤν, καὶ τὴν ὑπεροψίαν τῶν πλουτούντων οὐκ ἀνέχομαι. οἶδα γὰρ ὅσον ἐστὶν ὁ πένης χρῆμα εὐκαταφρόνητον· περὶ δὲ τὸν πλοῦτον πάντες ἐκτείνονται. εἰ γὰρ τῆς παιδείας ἀντιποιεῖσθαι βουληθείην, πᾶσαν λοιπὸν ἀποθῆναι φροντίδα χρεών, εἰ γὰρ ὁ βίος ἅπας βραχὺς (κατὰ τὸν εἰπόντα) πρὸς μιᾶς τέχνης ἀπόκτησιν, πῶς ἂν παιδείαν ἐνέγκοι ὁ ὑπὸ τοσούτων φροντίδων ἐνοχλούμενος; ἀσχολία βίου οὐκ ἀξιοῖ συνυ-

συνυπάρχειν τῇ κατὰ Φιλοσοφίαν σχολῇ· Ταῦτα μοι ἀνακόπτει τὴν προκοπήν. ταῦτα με τῆς παιδείας ἀναχαιτίζει· πόνους δὲ ϗ ἱδρῶτας, ὅσων ϗ δεῖται παιδεία, ἡδέως ἂν ἠσπασάμην. καί σε ἐκλιπαρῶ εἴπερ ἔχεις διδάξαι με. εἴγε οἷόντ᾽ ἦ, ϗ τὴν πενίαν ἀποφυγεῖν, ϗ τὴν παιδείαν ἱκανῶς κτήσασθαι. οὕτω γὰρ ἂν ϗ αὐτὸν ἐμὲ πλεῖστα εὖ πεποιηκὼς ἔσῃ, ϗ εἰς ἔργον ἀχθείη τὰ δόξαντα.

## Περὶ Αἰτητικοῦ, καὶ Συςατικοῦ Χαρακτῆρος.

Ὁ Αἰτητικὸς χαρακτὴρ, ϗ τὸν συςατικὸν ἑαυτῷ συμπεριείληφεν. ὁ μὲν γάρ ἐςι τινὸς ὧν ἐφιέμεθα αἴτησις· ὁ δὲ, τὰ μὲν ἄλλα ὁ αὐτὸς ὤν, τῷ δι᾽ ἕτερον γίνεσθαι διενήνοχε. Τῶν ἐφετῶν δὲ, τὰ μὲν εἰσὶ καθ᾽ αὑτά, ἃ ϗ βουλητὰ τῷ Φιλοσόφῳ καλεῖν φίλον. τὰ δὲ πρός τι τούτων, ὧν ἐφιέμεθα ἀναφέρονται. ἢ ἐφ᾽ ᾧ τῶν ὑπαρχόντων ἀγαθῶν διαρκεςέραν ποιήσωμεν τὴν διαμονήν, ϗ μὴ προσόντα κτησώμεθα, ἢ ἐπὶ διακωλύσει τῶν προσδοκωμένων ἀνιαρῶν, ϗ διαφυγῇ τῶν ἐπικειμένων. τοιαῦτα δ᾽ εἰσὶ τὰ ἐκτὸς ἀγαθά. ἐφ᾽ οἷς ϗ τὰς αἰτήσεις ὡς ἐπὶ τὸ πλεῖςον ποιούμεθα. Ἐκεῖνο μέντοι ἰδιαίτερον ἡ σύςασις ἔχει, ἔπαινον τῶν συνιςαμένων, ϗ γνῶσιν ἢ ἀναγνώρισιν τῶν αὐτῶν, ὥςε εἰσὶν ᾠκειωμένοι ἡμῖν τε κἀκείνοις οἷς αὐτοὺς συνιςῶμεν. Πρὸ πάντων τοιγαροῦν, ἐπὶ τῆς αἰτήσεως δύο ταυτὶ παρατηρεῖν δέον. τίνα ἐςὶν ἅπερ αἰτοῦμεν, ϗ τίνες παρ᾽ ὧν ταῦτα ἀξιοῦμεν λαβεῖν. εἰ μὲν γὰρ τὸ αἴτημα σύμφορόν ἐςιν ἡμῖν τε, ϗ οἷς αἰτοῦμεν, ϗ προσέτι ῥᾴδιον, ϗ δίκαιον, ϗ τὰ ἑξῆς, ἀνυποςόλως αἰτήσωμεν, ὀλίγ᾽ ἄττα προ-

προαναχεχρηκότες, ἐφ' ὧν τὴν τοῦ εὐεργετοῦντος εὔνοιαν ἐπισπασώμεθα. εἶτα τὴν ἔνδειαν τῶν αἰτουμένων ὑποσυνάψαντες, ἀνάγραπτον ἐς ἀεὶ τὴν εὐεργεσίαν παρεγγυήσομεν. ὡσαύτως ϗ ἐπὶ τῆς συστάσεως, πηνίκα ὁ συνιστάμενος τοιούτων δεόμενος τύχοι.

Ἢν δὲ τὴν αἴτησιν ἐργώδη, ἢ λυπηρὰν, ἢ αἰσχρὰν, ϗ τὰ παραπλήσια, αἰδούμεθα, πρός τε τὴν διάθεσιν τοῦ εὐεργετήσαντος ὑπόπτως διακείμεθα, πότερον ἐπινεύσοι τοῖς αἰτουμένοις, εἰ τὴν ἀξίωσιν ἀποχρήσηται, οὐ γυμνὴν ἐξοιστέον τὴν αἴτησιν· ἀλλὰ πολὺ πρότερον πειρατέον τὴν ἐκείνου γνώμην πρὸς τὸ ἡμῖν εὐαγογώτερον μεθαρμόσαι, ϗ πρὸς συγκατάθεσιν παρασκευάσασθαι, τὰ μὲν παρ' ἡμῶν αὐτῶν, τὰ δὲ ὑπὲρ ὧν τὰς αἰτήσεις ποιοῦμεν. εἴπερ ἀξίους τῆς παρ' ἐκείνου χάριτος ἀποφαίνουμεν. ἀρχὴν μὲν τὴν κατεπείγουσαν ἀνάγκην ἐντέχνως ἐξοίσωμεν. Εἰ δέ τι ϗ εὖ πεπονθότες ἐσμὲν παρ' ἐκείνου, οὐχ' ὅπως ἀφηγησώμεθα, ἀλλὰ ϗ λαμπρῶς ἐπαινέσωμεν. ϗ ὅτι τὰ νῦν, εἴπερ ποτὲ τοιούτων τυχεῖν ἄξιοι. τούτοις τὴν ἱκεσίαν ἐποίσομεν, μεθ' ἣν ἐκεῖνον τῆς πρὸς ἅπαντας αὐτοῦ ἐπιεικείας, ϗ στοργῆς ὑπομνήσωμεν, ἐξαίροντές τε ϗ ἐγκωμιάζοντες, ᾗ ϗ τεθαῤῥηκότες τὴν αἴτησιν πεποιήκαμεν. Καὶ εἰ μὲν εἴη ϗ πρότερον εὐεργετηκὼς, ϗ ταύτην προσεπιμετρῆσαι τὴν χάριν εἰκὸς, λέγοντες, μὴ τὰς πρὸ τοῦ ταῖς ἑξῆς ἀτιμάσοι, κἀκείνας οὐκ εἰς σπουδαῖον ἀνηλωκέναι δόξει. Ἢν δὲ πρώτην ταύτην αἰτοῦμεν, διὰ τοῦτο ἐροῦμεν, ὅτι πρώτην ἀποτυχεῖν οὐ δεῖ, οὐ δὲ τῆς φήμης ἐλάττω φανῆναι τὰ πράγματα, ἢ τοῖς τε ἄλλοις ϗ ἡμῖν πιεζομένοις ἐπ' ἐκεῖνον τὸν δρόμον ἠνέωγεν.

Εἶτα τὸ αἰτούμενον παντὶ σθένει ἀποφῆναι πειρασώμεθα δίκαιον, ἔννομον, καὶ τὰ ἑξῆς. εἰδὲ μὴ οἷόντ' εἴη, ἀλλὰ γοῦν ἡμῖν ἀναγκαῖον, κἀκείνῳ ῥᾴδιον, ἢ λυσιτελὲς, καὶ ἅμα τὸν τρόπον ὡς ἂν εὐπετέστερον ἐς πέρας ἀχθείη ὑποθήσωμεν. Ἀποροῦντες δὲ, ἢ διὰ τὸ ἐργῶδες ὀκνοῦντες, τῇ ἐκείνου μεγαλονοίᾳ παριέναι ἐροῦμεν. ἡμεῖς δὲ τὴν ἀπὸ τοῦ εὐεργετήματος ὄνησιν, ἢ δόξαν, ἢ ἔπαινον, μάλιστα δὲ μνήμην ἀΐδιον, ὑποστήσομεν, ἐκλιπαροῦντες μὴ καταπροέσθαι ἡμᾶς ἐν τοσαύτῃ τῶν πραγμάτων ἀκμῇ.

## Ὑπόδειγμα.

Πάλιν ἐν ἀπορίαις ἐγὼ, καὶ πάλιν ὁ δρόμος πρὸς σὲ, καί μοι δοκεῖ ἐπ' αὐτῷ τούτῳ τὰς δυσχερείας ἐπιτείνειν φιλοτιμεῖσθαι ἡ δαίμονα, ἐφ' ᾧ σοι μείζους τὰς τοῦ εὖ ποιεῖν ὑποθέσεις πορίζοιμι. οἶδε γὰρ καὶ σὲ τῷ εὖ ποιεῖν χαίροντα· κἀμὲ μὴ παρ' ἄλλου λαβεῖν ἔχοντα. Θέρους γοῦν μοι ἐπιστρατεύσασα τῷ λιμῷ, μικροῦ δεῖν τῶν τεττίγων τὴν τροφὴν ὁμοδίαιτον ἔδειξεν· εἰ δ' αὐτὸς μὴ ἐπήρκεσας, κἂν μετὰ τῆς ᾠδῆς ὡς ἐκεῖνοι τὸν βίον ἐξήνυσα. καὶ τάχα μύθου παρεῖχον τοῖς μεταγενεστέροις πρόφασιν· ὡς ἄρα τις μουσῶν φίλος λιμῷ τελευτήσας εἰς τεττίγων φύσιν μετέβαλε. νυνὶ δὲ μετὰ τοῦ λιμοῦ καὶ κρυμὸς ἐπισκήψας τῶν ἄλλων, καὶ μουσικῆς ἀπεστέρησεν, αἱ Μοῦσαι γὰρ ἀνιαθεῖσαι τῷ κρύει, κατέλεπόν με, ὡς τὸ ἐκ σιδήρου γένος ἡ νέμεσις. καὶ οὔ φασιν ἐπανακάμψειν ἕως ἂν μὴ τὸν κρυμὸν ἀπελάσας, ἐκ μεμυκείας αὖθις ἀνειμένην τὴν ψυχὴν ἀποφήναιμι. οἱ δὲ λόγοι τοῦτ' ἐκεῖνο πτερόεντες ᾤχοντο. δεινοὶ γὰρ ἐκεῖ-

ἐκεῖνοι ἐλευθερίας εἰσὶν ἐρασταί, ϗ οὐκ ἂν φέροιεν λιμῷ ϗ ψύχει ἀπαραιτήτοις τυράννοις δουλαγωγούμενοι. δύστηνος ἄντις φαίη, ὡς ἀνήκεστα πέπονθα. Οὐδέ σου τὸ πρὸς πάντας οὐκ ἀγνοῶν φιλόστοργον, ϗ τὰς πρὸς ἐμοῦ χάριτας ἐπιστάμενος, οὐδὲν εὖ οἶδα δείσει περὶ ἐμοῦ μήτι πάθω τῆς σῆς ἀνάξιον φύσεως. ἀλλὰ πάλιν ἐρῶ τῷ συνήθει τρόπῳ περὶ τὸν ἄνδρα χρήσεται, Μούσαις διαλλάξας ϗ λόγοις, τῇ παρ' αὐτοῦ μουσοπειθεῖ χάριτι. ναὶ πρὸς μουσῶν ϗ λόγων αὐτῶν, ὦ μουσῶν ϗ λόγων ἐμοὶ τιμιώτερε.

## Ἄλλο.

Σὲ μὲν πρὸς εὐποιΐαν τῷ φίλῳ παρακαλεῖν, ταὐτὸν εὖ οἶδα ϗ ἵππον ἐς πεδίον ἀφεῖναι, τὸ τῆς παροιμίας. οὐ μόνον διὰ τὸ εὐεργετικόν σου τῆς προαιρέσεως, (ἥτις ἐπ' αὐτῷ τούτῳ καταπεμφθῆναι τῷ κόσμῳ πιστεύεται, ἐφ' ᾧ τοῖς δεομένοις κοινὸν ὄφελος γένηται) ἀλλὰ ϗ διὰ τὴν ἀρετὴν τοῦ χρῄζοντος βοηθείας, ἥτις ὀλίγοις τῶν καθ' ἡμᾶς ἐστὶν ἐφάμιλλος. πρόσθες δ' εἰ βούλει, ὅτι ϗ φίλος ἐμὸς ὁ ἀνήρ, ϗ τὸ μέγιστον, ὅτι ϗ δικαίων δεόμενος. ἵνα μέντοι σου τῇ προαιρέσει τὰ εἰκότα χαριζόμενος δόξω, τὴν ἐπιστολὴν ἐπιδέδωκα, ϗ ὅπως τοῦ καθάπαξ ἐντυχεῖν σοι παρέχοιμι πρόφασιν, ᾧ γε τοσούτῳ ἥδιον χαριῇ, ὅσῳ ϗ μᾶλλον αὐτῷ ὁμιλήσεις. εἴσῃ γὰρ ἄνδρα ϗ συνετὸν ἐς τὰ μάλιστα, ϗ τοῖς σοῖς τρόποις ἁρμόζοντα, ϗ τῆς ἐμῆς οὐκ ἀνάξιον φιλίας. ὅτι ϗ τῆς χάριτος, εἴπερ τις ἄλλος ἀμνήμων οὐκ ἔσται, ἐκ τῶν τρόπων εἴσῃ τῆς τοῦ ἀνδρὸς ὁμιλίας.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Ἀπάντησις πρὸς τὸν Αἰτητικόν, καὶ Συστατικὸν Χαρακτῆρα.

Πρὸς τὴν αἴτησιν ἀπαντῶντες, εὐμενέστατα μὲν ἐροῦμεν ἐντετυχηκέναι τοῖς παρὰ τοῦ φίλου γράμμασι, καὶ ἡδονὴν οὐ τὴν τυχοῦσαν ἡμῖν ἐμποιῆσαι, τοῖς ἡμετέροις χρῆσθαι ἀξιώσαντα. τοῦτο γὰρ καὶ μόνον παραπολαύειν ἥδιστα φήσομεν, ὅπερ ἂν ἀπαιτοῦσι τοῖς φίλοις γενοίμεθα χρήσιμοι. Καὶ εἰ μὲν τῷ αἰτήματι συγκαταθέσθαι ἀξιώσομεν, λαμπρὰς τὰς περὶ τούτου ὑποσχέσεις ποιήσομεν. καί πως καὶ μεμψώμεθα; εἰ τὴν αἴτησιν ὡς περὶ μικρῶν, καὶ ὅτι μὴ καὶ πλείω, καὶ μείζω ἡμῖν ἐπιτάττει, ἵνα καὶ χαρισώμεθα τοσοῦτον, ὅσον καὶ βουλόμεθα. ἢ τὸν τρόπον, ὅτι διὰ πλειόνων, καὶ δι' εὐλαβείας μᾶλλον, ἢ κατὰ τὴν ἡμετέραν πρὸς ἐκεῖνον διάθεσιν. Πέρας δὲ καὶ ἐς τοὔπιον προλέψομεν μὴ αἰτεῖν ἡμᾶς εἴτε δεήσει τῶν ἡμετέρων, ἀλλ' ἀπαιτεῖν, εἰδώς, ὅτι κοινὰ τὰ τῶν φίλων, καὶ τὰ τοιαῦτα.

Ἢν δ' ἀνανεύσωμεν, μὴ δόξαν ὑπουργῆσαι τῇ ἱκεσίᾳ; ἐνταῦθα πολλῆς δεῖται καὶ τῆς ἐπιτεχνήσεως, μήπου λύσαντες τὴν φιλίαν δόξωμεν. ζημιωθῆναι οὖν ἐν τοῖς καιρίοις ἐροῦμεν, τὴν ἀπαιτουμένην χάριν εἰς ἔργον ἀγαγεῖν μὴ δυνάμενοι. ἀσχάλοντες θ' ἅμα καὶ τὴν τύχην καταιτιώμενοι, ὡς ἀντίξουν προθυμίᾳ τῇ ἡμετέρᾳ, οὔθ' ἡμῖν αὐτοῖς συγχωροῦσαν εἶναι χρησίμοις, οὔτε τοῖς φίλοις. ὃ καὶ μᾶλλον ἡμᾶς ἀνιᾷ· ἀλλὰ καὶ εἰς τὸν καιρόν, καὶ τὰ κατ' ἐκεῖνον συμβαίνοντα τὰς αἰτίας ἐστὶν ἀναγαγεῖν· ἴως μὴ συνᾴδοντα προαιρέσει, τῇ περὶ τὴν ὑπου-

ὑπουργίαν. καὶ ἐπὶ τ' ἄλλα τῶν περιστατικῶν ὁμοίως. ὡς ἀντιπράττοντα. Ἔστι δ' ὅτε καὶ εἰς τὴν ἀπορίαν, ἣν οὐκ ἔστιν ἡμῖν ἐκνικῆσαι, κἂν ὅτι πλεῖστον ἐσπουδακόσιν. Ὅλως δὲ τὴν μὲν προαίρεσιν προθυμοῦντες ὡς οἷόν τε δείξωμεν· τὴν δ' ἀπορίαν, ἤ τι τοιοῦτον, καταιτιασώμεθα. εὐνοίας δὲ ἔργον, οὐ τὸ ὑπουργῆσαι τὰ μὴ ἐφικτά, ἀλλὰ προθυμηθῆναι τὰ δυνατά. ὅθεν χρῆναι τὸν φίλον φήσομεν τῆς προθυμίας σκοποῦντα τὴν διάθεσιν, τὸ ἐν ἔργοις ὑποδεὲς μὴ καταμέμψασθαι. Τέλος δὲ τὴν χρῆσιν ὧν ἐσμὲν κύριοι κομψῶς ὑποστήσωμεν, ὧν εἴτε δεηθείη, ὄψει καὶ χωλοῦ δρόμον ἐροῦμεν, τὸ παροιμιακόν.

## Ὑπόδειγμα.

Ἡδέα μὲν σου τὰ γράμματα, καὶ γὰρ εἰς κάλλος κομψείας ἐξήσκηται· ἐμοὶ δὲ ἡδίω, ὅτι παρὰ σοῦ. ἐπεὶ καὶ τοῖς ποθοῦσιν, ὅσα τῶν ποθουμένων γνωρίσματα. τόδε καὶ χάριν αἰτεῖν, ὅτουπερ ἵπποις ἡδονῆς, ἔμοιγε κρείττω. τούτου γάρ μοι τῶν προσόντων ἀπώνασθαι οἴομαι, ὅπερ ἂν τοῖς φίλοις εἰς ὄνησιν γένοιτο. καὶ τοῦ μεγάλου τῶν Μακεδόνων Ἡγεμόνος διὰ τοῦτο τὴν φύσιν ζηλῶ, κἂν τῆς δυνάμεως ἀπολείπωμαι. ὡς περσικῶν λαφύρων, τῶν πολυτελῶν ἐκείνων, καὶ ἰνδικῶν λιθάκων, τοὺς φίλους προὔτιθη. καὶ νὴ Δία τῷ τοὺς θησαυροὺς ᾐτηκότι θεάσασθαι, τοὺς φίλους ἐδείκνυε. Πέπομφα γοῦν σοι τῶν ἀλφίτων αὐτίκα τὴν γραφὴν ἀναγνούς, μεδίμνους πλεῖν ἢ τέτταρας. λιμοῦ ἀλεωρὴν καθ' Ἡσίοδον. πέμψω καὶ ἐς αὖθις. Πρὸς δὲ τὴν τοῦ ψύχους ὕβριν, τῶν γερανδρύων ἐπέταξα ὑπερπληρῆ τὴν φορτηγὸν ἄκατον κομισθῆναί σοι.



ΙΩΑΝΝΙΝΑ 2006

δι᾽ ὧν, ἔσται σοι καὶ τῶν θερῶν ἀντιμηχανήσασθαι, καὶ τεχνητεῦσαι θάλπος ὥρᾳ χειμῶνος. λόγους τε πάλιν ἀνακαλέσαι καὶ Μούσας, εἰ βούλῃ δὲ καὶ τοὺς τέττιγας. Σὺ δ᾽ ἀλλὰ τῶν ἐμῶν εἴ τι σοι καταθύμιον, ἀπαιτῶν γράφε. εὖ ποιῶν γὰρ ἔσῃ τὰ μάλιστα, φίλοις εὖ ποιεῖν ὑποθέσεις πορίζων μοι.

## Ἄλλο.

Χάριν αἰτήσας διὰ γραμμάτων, ὅλην ἐμοὶ τὴν χάριν ἐνέσταξας. οὐ μόνον σῆς διαθέσεως ἕνεκα τῆς περὶ ἐμὲ, καὶ τρόπων χρηστότητος, ἀλλὰ δὴ καὶ ἀρετῆς τοῦ συνισταμένου. καὶ τὸ πλέον, ὅτι τοῖς ἡμετέροις ἠξίωσας χαρίσασθαι. ἐκεῖνο μόνον ἐδόκει χάριτος ἐλλιπὲς, τὸ χάριν αἰτεῖν, δι᾽ οὗ τὸ μὴ σε πάνυ θαῤῥεῖν ἡμῖν ὡς φίλοις ὑπεσημαίνετο. εἰ γὰρ τὰ τῶν φίλων κοινὰ, ὡς παλαιὸς βούλεται λόγος, αἰτεῖν οὐκ ἔδει, ἀλλ᾽ ἀπαιτεῖν. Καὶ ταῦτα ὑπὲρ ἀνδρὸς τοιούτου, ὃς καὶ ἀρετῆς ἕνεκα τῆς αὐτοῦ, πάντων ἐστὶν ἐπιτυχεῖν ἄξιος, ὧν ἐσμὲν Κύριοι. καὶ ταύτης εἰ παντάπασιν ἐτύγχανεν ἄμοιρος ὤν, ὅτι μέντοι φίλος σὸς, ἔτι ἂν ἀξιώτερος εἴη τυχεῖν τῶν αὐτῶν.

## Περὶ Παραμυθητικοῦ χαρακτῆρος.

Παραμυθία ἐστὶν ἀποτροπὴ ἀθυμίας· παραμυθητικὸς δὲ τύπος, ὧπερ ἐπὶ ταῖς τῶν φίλων χρώμεθα δυσχερείαις. ἀπὸ τῆς τραχύτητος τοῦ δυσφορεῖν, εἰς τὸ λειότερόν τε καὶ γαληνότερον τὴν ἐκείνων ψυχὴν μετατιθέμενοι. Ὕλη δ᾽ αὐτῆς ἡ τῶν ὄντως, ἢ δοκούντων ἀγαθῶν ἀποβολή. ἢ τινὸς τῶν ἀνιαρῶν ἔφοδος. τοιαῦτα δὲ εἰσὶ, τὰ ἐκ-

τὸς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

τὸς ἀγαθὰ, ϗ τὰ τοῦ σώματος. ϗ ἑνὶ λόγῳ, ὅσα ταῖς τοῦ χρόνου, ἢ τύχης ῥοπαῖς ὑποπέπτωκεν, ἐφ' οἷς ἀσχάλλουσιν ἄνθρωποι. ὥσπερ οὖν ἐπὶ τοῦ συγχαριστικοῦ ἀπὸ τῆς ἡδονῆς ἀρκτέον ἐλέγομεν, ἣν ἐπὶ τῇ τῶν φίλων εὐπραγίᾳ ἐκαρπωσάμεθα, οὕτως ἐπὶ τοῦ παραμυθητικοῦ ἀπὸ τῆς λύπης, ἣν προὐξένησεν ἡ συμφορὰ τούτων, περιαλγεῖν ἡμεῖς φάσκοντες, ϗ συνάχθεσθαι, οὐχ ἧττον, ἢ ἡμεῖς ἦμεν οἱ πεπονθότες. ϗ ἅμα τὸ μέγεθος τῶν ἐκείνοις συμβάντων ἀλγεινῶν, πενθίμοις παθολογίαις, ϗ οἷον ἀποιμώζοντες ὑπομνήσομεν. Χρὴ δ' ὅμως λέγοντες μὴ ἀπαραμύθητα δυσφορεῖν ἐπὶ τῷ γεγονότι, ἀλλὰ μετρίως φέρειν, κἂν βαρὺ δοκῇ ϗ δυσπαρηγόρητον. Εἶτα τὰς πίστεις ἐπισυνάψομεν. ϗ πρῶτον ἀπὸ τοῦ προσώπου, πρὸς ὃ τὸ παραμύθιον. ϗ εἰ μὲν τῶν παιδείας ἀντιποιουμένων εἴη, ὡς οὐδέν ἐστιν, ὅ, τι οὐ φορητὸν ἀνδράσι σοφοῖς, παρ' οἷς οὐδενὸς λόγου ἀξιοῦται τὰ τῇδε. εὖτε ϗ ὡς ἑτέρως ἔχοντα. ἢ ὅτι ϗ τὴν ἀρετὴν αὐτάρκη πρὸς εὐδαιμονίαν κηρύττουσι, ϗ κρείττους εἶναι παθῶν ἐπαγγέλλονται. Εἰ δὲ μὴ τοιοῦτος, ἀλλά τις τῶν ἐν ἀξιώμασιν, εἰ μή τις παντάπασιν ἔκλυτος, ϗ θηλυπρεπής, αἰσχρὸν εἶναι φήσωμεν, ὡς στερρῷ ϗ βεβηκότι τὴν διάνοιαν, θηλυπρεπέστατα κατασπᾶσθαι τῷ πένθει, ὃν ἐχρῆν τούς τε ἄλλους νουθετεῖν, ϗ τῆς κοινῆς φύσεως μὴ ἀγνοεῖν τὸ ταλαίπωρον. Ὅλως δὲ τὰ εἰκότα τῷ προσώπῳ συνορᾶν χρή. Εἶτα ἀπὸ τοῦ συμβάντος, ὡς οὐ δεινόν. ταράττει γὰρ ἡμᾶς τὰ πολλὰ, οὐ τὰ πράγματα, ἀλλ' αἱ περὶ τῶν πραγμάτων ὑπολήψεις. ὡς κοινὸν ἀνθρωπίνῃ φύσει. ὅτι ϗ μείζω ϗ πλείω τοῖς πᾶσιν ἐπήρτηται. πλεῖστοι δὲ, ϗ τὰ χαλεπώτατα ἤνεγκαν.

ΙΩΑΝΝΙΝΑ 2006

καν, ὧν καὶ ὑποδείγματα ἐξοίσομεν, καὶ τῶν ἀλ-
λοτρίων παθημάτων ἐλάττω τὰ ἐκείνου συνάξομεν,
ὅπερ ἐν ταῖς παραμυθίαις δεινότατόν ἐστιν ἐπι-
χείρημα. ἡνίκα δ' ἐπί τινος θανάτῳ τὴν παραμυ-
θίαν ποιούμεθα, καὶ ἀναγκαῖον δείξομεν. ἐφ' ὃν
πάντες ῥοπῇ ἀναγκαίᾳ τῆς φύσεως ἐπειγόμεθα.
καὶ οὐκ ἴσμεν εἰ καὶ μετ' οὐ πολὺ σὺν ἐκείνῳ ἐσό-
μεθα. Τρίτον ἀπὸ τῶν περιστατικῶν· μάλιστα δ'
ἀπὸ τοῦ τέλους δεικνῦντες τοῦ συμβάματος προσ-
γενέσθαι τι τῷ πεπονθότι συμφέρον· ἢ ἐπὶ τὸ
σῶμα ἀνῆκον, ἢ εἰς ψυχήν· ἐπὶ δὲ θανάτου καὶ τῷ
κατοιχομένῳ. οἷον φέρ' εἰπεῖν, Εἰ παρῆλιξ καὶ
ἔξωρος ἦν ὁ ἀπελθών, ἅλις τῶν τῇδε ἐροῦμεν
ἀπήλαυσεν, εἰ ὅλως ἀπόλαυσιν, καὶ μὴ τιμωρίαν
καλεῖν χρή, τὴν ἐν τῷδε τῷ βίῳ διατριβήν. ὅτι
τὸ γῆρας ὡς παγχάλεπόν τύραννον ἐξέφυγε, το-
σαῦτα καὶ τηλικαῦτα τοῖς γεγηρακόσιν ἐπάγον
ἀνιαρά. ὧν καί τινα ὑπομνήσομεν. Εἰ δὲ πρόωρος
ἡ τελευτή, ταύτην μακαρίσωμεν· ὡς τῶν τοῦ βίου
δεινῶν ἁπάντων συλλήβδην ἀπαλλαγήν, πρὸ τοῦ
γευθῆναι καὶ πεῖραν δοῦναι, καὶ ἅμα τινὰ τούτων
ἀπαριθμησώμεθα, φθόνους, ἐπιβουλάς, πόνους, τα-
λαιπωρίας, κινδύνους κατά τε γῆν, καὶ κατὰ θά-
λατταν, δικαστῶν τὸ πικρόν, τυράννων τὴν ὠμότη-
τα, δούλων τὸ κακεντρεχές, φίλων τὸ ἄπιστον, καὶ
τὰ ὅμοια. σκοπεῖν δὲ χρὴ καὶ τί ποιῶν τέθνηκεν
ἢ τί λυπηρὸν πέπονθεν· ἢ ἀριστεύων· ἢ ἀγωνιζό-
μενος ὑπὲρ εὐσεβείας, ὑπὲρ δικαίου, ὑπὲρ πατρί-
δος, οἰκείων, φίλων, καὶ τῶν ὁμοίων. ἀπὸ γὰρ
τούτων ἁπάντων ἐς παραμυθίαν εὐπορήσομεν ἐπι-
χειρήματα. Τελευταῖον δέ, καὶ τὸ πένθος εἴ-
τ' οὖν ἀγανάκτησιν, ἀσύμφορον δείξομεν. τὸ γὰρ
ἤδη

ΙΩΑΝΝΙΝΑ 2006

ἤδη πραχθὲν, οὐκ ἔσθ' ὅπως ἄλλως ἕξει. καὶ ἔτι τῶν πρακτέων ἀφέλκεται. τῷ δ' ἐποιχομένῳ, μὴ ὅτιγε ἀνωφελὲς, ἀλλὰ καὶ ἐπιζήμιον. Δεῖ δ' ὅλως τὸν παραμεμυθηκότα, τὴν τοῦ δεινοπαθοῦντος διάθεσιν τηρεῖν. ἐνίοτε γὰρ καὶ ἐπιπλῆξαι ἐστὶν εὐθὺς ἐν προοιμίοις ἀθυμοῦσι τοῖς φίλοις. εἴπως μέντοι ταύτῃ τῆς ἀθυμίας ἐπισχεῖν δυνάμεθα. ὡς ὁ Θεοφύλακτος ἐν τῇ ἐννάτῃ τῶν ἠθικῶν. Πέρας δὲ, βραχεῖ ἐπιλόγῳ εἰς εὐθυμίαν προτρέψομεν, καὶ λήθην τῶν ἀνιώντων.

## Ὑπόδειγμα.

Οἷον οἴειμε τὴν ψυχὴν διαθέσθαι τὴν ἄωρον τοῦ χρυσοῦ τῷ ὄντι παιδὸς ἀκούσαντα τελευτήν; πάνυ μὲν οὖν ἀφιλοσόφως, καὶ ἀνῴμωξα, καὶ δακρύων ἀφῆκα πηγὰς, καὶ πολλὰ κατεμεμψάμην τὸν δαίμονα, ἐφ' οἷς ἀφιλανθρώπως διάκειται τὰ πρὸς σέ. χρῆν γὰρ εἰ δυνατὸν, ἥκιστα τοιοῦτον ἄνδρα ἀνιᾶν, ἢν δὲ μὴ, ἀλλὰ γοῦν ὡς ἐλάχιστα. Ἀλλ' ἴσως μὲν καὶ ταῦτα οὐκ ἀλυσιτελῆ; τίνι δὲ λόγῳ, οἶδε πάντως ἡ πρόνοια. ἀνθρώποις δὲ φέρειν εἰκὸς ὁποῖα πότ' ἂν ᾖ, καὶ ὅπως ἂν ἔχοι τὰ παρ' αὐτῆς ἐπαγόμενα. καὶ ταῦτα ἡμᾶς καὶ ἡ πολυετὴς πεῖρα εὖ μάλα ταῖς ἐπ' ἀμφότερα μεταβολαῖς ἐγγυμνάσασα, καρτερωτέρους ἀπέφηνε. καὶ ἡ ὑπόχεσις μόνην ἐφιεῖσα ζημίαν ὑπολαμβάνειν τὴν ἀπὸ τῆς ἀρετῆς ἔκπτωσιν καθίσασθαι τοῖς πολλοῖς εἰς φιλοσοφίαν ὑπόδειγμα βούλεται. ἢ γὰρ Ἐπικτήτῳ δοκεῖ, πεπαιδευμένου μὲν ἐστὶν, οὔθ' αὐτὸν ἐν τοῖς λυπηροῖς, οὔτε τῶν ἄλλων τινὰ αἰτιᾶσθαι, ἀλλ' εἰδότος ὡς οὐδὲν οὕτως ἀνήκεστον, ὃ μὴ ἀνθρωπίνῃ τύχῃ προσδόκημα, πρὸς τὰ ἀντιπίπτοντα

τα παρασκευάσασθαι· εἰ γὰρ καὶ ψυχὴν ἔλαχεν ἀκήρατον ἄνθρωπος, καὶ διὰ τοῦτο ἔντιμον, ἀλλὰ καὶ ῥευστῷ σκήνει συνέζευκται, καὶ διὰ τοῦτο λύσιμον. καὶ οὐκ ἔστιν ὅ, τι τῶν προσδοκωμένων παρὰ πόδας ἀνθρώπῳ, ὡς θάνατος. Ἆρ᾽ οὖν παρὰ τοῦτο σε χρὴ ἀνιᾶσθαι ἀπαραμύθητα, ὅτι θνητὸς ὢν, θνητά τοι καὶ πέπονθας; τοῦτο γὰρ ἂν κλώθειν πειρωμένων εἴη τἄκλωστα. Ἀλλ᾽ ὅτι πρόωρος τέθνηκε δυσφορεῖς; καὶ τί δ᾽ ἂν ἐποίοιεν οἱ τοῖς παισὶ καὶ τὴν μητέρα συνεκφέροντες; οἱ ἐπὶ δυσὶν ἔσθ᾽ ὅτε καὶ τρισὶν ἅμα τῇ αὐτῇ κεχρημένοι σορῷ, καὶ ταῦτα μηδενὸς ὑπολειπομένου τοῦ κλήρου; οἶσθα δήπου οἵαις συμφοραῖς τὸ ταλαίπωρον τῶν ἀνθρώπων περιστοιχίζεται γένος, μεστὴ μὲν καὶ γῆ καὶ θάλαττα, φόνων, ἐρίδων, ἐπιβουλῶν, ἐριννύων, καὶ ἄλλων μυρίων δυσαντήτων κακῶν. ἀγαθοῦ δὲ ἐν τῷ βίῳ οὐκ ἔστιν οὐδ᾽ ὄναρ εὐμοιρῆσαι, μὴ καὶ δυσχερέσιν ἀναπεφυρμένου. ἐφ᾽ οἷς σε δέον καὶ χάριτας ὁμολογεῖν τῷ χρεὼν, ἅτε σου τὸν παῖδα τῆς περιστατικῆς ταύτης, καὶ κακοδαίμονος διαγωγῆς ἀπαλλάξαντι, μὴ ὅτιγε δυσχεραίνειν. καὶ ταῦτα ἐπ᾽ οὐδενὶ τέλει χρησίμῳ. σαυτοῦ τε γὰρ τὸ λειπόμενον τοῦ βίου ἐκτήκεις κακῶς, κἀκεῖνον οὐδὲν ὠφελεῖς. ἀλλ᾽ ὅ φησιν Εὐριπίδης, Σοφὸν κἀν δεινοῖς τί χρὴ δρᾶν ἐννοεῖν. Χρὴ δὲ ὑπὲρ μὲν τῶν ἀποιχομένων, ἐξιλεοῦσθαι τὸ θεῖον. τουτὶ γὰρ καὶ λυσιτελὲς, καὶ ἄλλως ὅσιον. σαυτὸν δὲ εἰδότα ἐν σώματι, τὰ εἰκότα τῷ μετὰ σώματος βίῳ ἀφοσιοῦσθαι.

## Ἄλλο.

ΟΣον ἐγὼ δυσχερῶς διετέθην τὴν περὶ σὲ ἀδικίαν πυθόμενος τί χρὴ καὶ λέγειν; πάνυ μὲν οὖν· πῶς γὰρ οὐκ ἔμελλον, ὃν ἐχρῆν εἶναι παρὰ πᾶσιν αἰδέσιμον,

σιμον, ὡς ἀπότρόπαιον ἀκέων κρινόμενον; καὶ ταῦτα ὑπὸ τοιέτων, οἵτινες εἴπερ εἴησαν τῶν ἀδικεμένων (ὡς μάτην θρυλλεῖται) ὑπέρμαχοι, ἐκ ἂν δικαιοτέραν ἤνεγκον ψῆφον, ὅτιμὴ σοὶ τὴν νικῶσαν ἐπιψηφίσαντες· ἀλλὰ δῆλον ὡς μικρὰ τῦ καλῦ, καὶ τῦ δικαίε οἱ τοιῦτοι φροντίζεσιν. ἴσασί γὰρ πάντες οἷα κακεργῦσι θείοις, καὶ ἀνθρωπίνοις ἐνυβρίζοντες νόμοις. εὖς ἐκ εἰς μακρὰν χαρήσεσθαι εὖ οἶδα. πᾶσι γὰρ ἤδη δι' ἀπεχθείας εἰσίν. ὧν τὸ τυραννικὸν μισῦντες τῦ τρόπε, ἐλευθεριάζεσιν ἅπαντες. καίγε εἰκός. ἐδὲν γὰρ βίαιον μόνιμον. τὸ δὲ ἄδικον, καὶ καθ' ὑπερβολὴν βίαιον. ἢν δὲ μὴ, ἀλλὰ γοῦν ὑφέξεσι πάντως τὴν δίκην τῷ ἐφόρῳ τῶν νόμων περὶ ὧν κατὰ νόμων ἀσελγαίνειν τολμῶσι. σὲ δ' ἐκ ἔδει ἀπαραμύθητα δυσφορεῖν ἐφ' οἷς δέδακται ἐκείνοις, διὰ πολλῶν ἐλθόντα, καὶ τῦ ἀνθρωπίνου βίε ὅσον ἐςι τὸ ἀνώμαλον πεῖρα μεμαθηκότα, ὡς καὶ παραινεῖν ἄλλες, οὐχ' ἧττον διὰ τῆς πείρας ἢ φρονήσεως δύνασθαι. καὶ μάλιςα ἐκ ὄντος. τοιέτε, ἐφ' ᾧ δυςχεραίνεις, οἷον δοκεῖ. κἂν γὰρ σὲ τῆς ἐκκλησίας ἀπείρξαντο, ἐ παρὰ τῦτο καὶ ἐλυμήναντο τὰ γὰρ μέσα ἀπὸ τῦ τέλες κρίνεσθαι πέφυκε. τὸ δὲ κοινωνεῖν ἐκκλησίας, εἰς ἁγιασμῦ κοινωνίαν καὶ χάριτος τὴν ἀναφορὰν ἔσχηκεν. Εἰ τοίνυν ἔξεςι καὶ μὴ μεταλαγχάνοντι ὡς οἱ λοιποὶ τῆς ἐκκλησίας, τὸν ἁγιασμὸν ὡς ἐκεῖνοι καρπῦσθαι καὶ χάριν, μᾶλλον δὲ ὑπὲρ ἐκείνες ὡς ὁ τῦ ἁγιασμῦ πρωτεργὸς καὶ χαρίτων διδάσκει, ἐν οἷς τὲς τῆς δικαιοσύνης ἕνεκα διωγμὲς μακαρίες ἡγεῖται, τί δεῖ σοι τῦ κοινωνεῖν ἐκκλησίας; ἐμοὶ μὲν δοκεῖ σὺ πεπονθέναι μὲν ἐδὲν δεινὸν παρ' ἐκείνων, κερδάναι δέ τι καὶ μᾶλλον ἐν αὐτῷ τῷ τοῦ ἁγιασ-

 μῦτε

ΕΘΝΙΚΟ ΚΑΙ ΚΑΠΟΔΙΣΤΡΙΑΚΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΑΘΗΝΩΝ ... ΙΩΑΝΝΙΝΑ 2006

μήτε καὶ χάριτος λόγῳ, κἂν ἐκεῖνοι μὴ βούλωνται. τὸ γὰρ μηδὲν ἀδικοῦντα ἐκκλησίας ἀπείργεσθαι, τοῦτ' αὐτὸ τῆς θείας ἐστὶ πρόξενον χάριτος, καὶ ἁγιασμοῦ προσθήκη μᾶλλον, ἢ ἔκπτωσις. Ἀλλά πως σε καὶ ἀδικεῖσθαι δοίημεν· ἀλλά τοι καὶ κατὰ Πλάτωνα, τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι μεῖζον ἐστὶ κακόν. ἔχεις πολλοὺς τοὺς συναδικουμένους, καὶ πλείω καὶ μείζω πάσχοντας. τὸ δὲ κοινωνοὺς τοῦ πάθους ἔχειν, πάντως οὐ μικρὰν τὴν παραμυθίαν μνηστεύεται. μὴ οὖν ἀγανάκτει. ἡνίκα γὰρ τὴν διάνοιαν καθαρεύων ἔσῃ, σαυτῷ ἕξεις ᾠκειωμένον τὸ θεῖον. ᾧγε συνόντι, τῶν τοιούτων Σαλμωνιαίων μελέτω σοι μηδὲν ἀπειλῶν, εἰ γὰρ ὁ Θεὸς μεθ' ἡμῶν, τὸ ἱερὸν φησὶ λόγιον, τίς καθ' ἡμῶν;

## Ἀπάντησις πρὸς τὸν Παραμυθητικόν.

Εἰ δὲ πρὸς τὸν παραμυθητικὸν ἀπαντῆσαι δέον, τὴν μὲν παραμυθίαν ὡς ἀπὸ φιλοστόργου διαθέσεως καὶ εἰς σύνεσιν ἀπηκριβωμένην, οὐ τῆς τυχούσης ἐροῦμεν παρ' ἡμῖν ὑποδοχῆς τετυχηκέναι. Καὶ εἰ μὲν δόξῃ μεθαρμοσθέντας ἡμᾶς πρὸς τὸ ἀνεκτότερον ἀποφῆναι, μὴ διευλαβουμένους τῷ τοῦ πάθους μεγέθει, τὰς τῆς ἐπιστολῆς ἴυγγας ἐπαινέσωμεν, καὶ τῷ φίλῳ χάριτας ὁμολογήσωμεν, ἧς ἡμῖν ἐνειργάσατο διὰ τῶν γραμμάτων διαθέσεως. ἢν δὲ τοῦτο μὴ δόξῃ, τῆς ἀθυμίας τὸ ὑπερβάλλον τῆς συμφορᾶς αἰτιασώμεθα. ἥτις ἡμῶν τοῖς πένθεσιν ἐμβαπτίσασα τὴν ψυχήν, οὐδεμίαν συγχωρεῖ παραμυθίας παρείσδυσιν οὐδ' ὄναρ ἀνεῖσα τῶν τέκνων τὴν μνήμην.

## Ὑπόδειγμα.

Σὺ μὲν ἃ φίλῳ εἰκὸς παραινεῖς, καὶ τοῖς λόγοις ὡς φαρμάκοις νηπενθέσι πειρᾷ κατακηλῆσαι

μοι